καὶ Τυρίοις εἰς τὸ παράγειν αὐτοὺς ἐκ τοῦ Λιβάνου ξύλα κέδρινα
διαφέρειν σχεδίας εἰς τὸν Ιοππης λιμένα κατὰ τὸ πρόσταγμα τὸ
54 γραφὲν αὐτοῖς παρὰ Κύρου τοῦ Περσῶν βασιλέως. — [54]καὶ τῷ
δευτέρῳ ἔτει παραγενόμενος εἰς τὸ ἱερὸν τοῦ θεοῦ εἰς Ιερουσαλημ
μηνὸς δευτέρου ἤρξατο Ζοροβαβελ ὁ τοῦ Σαλαθιηλ καὶ Ἰησοῦς ὁ
τοῦ Ιωσεδεκ καὶ οἱ ἀδελφοὶ αὐτῶν καὶ οἱ ἱερεῖς οἱ Λευῖται καὶ
55 πάντες οἱ παραγενόμενοι ἐκ τῆς αἰχμαλωσίας εἰς Ιερουσαλημ [55]καὶ
ἐθεμελίωσαν τὸν ναὸν τοῦ θεοῦ τῇ νουμηνίᾳ τοῦ δευτέρου μηνὸς
τοῦ δευτέρου ἔτους ἐν τῷ ἐλθεῖν εἰς τὴν Ιουδαίαν καὶ Ιερουσαλημ.
56 [56]καὶ ἔστησαν τοὺς Λευίτας ἀπὸ εἰκοσαετοῦς ἐπὶ τῶν ἔργων τοῦ
κυρίου, καὶ ἔστη Ἰησοῦς καὶ οἱ υἱοὶ καὶ οἱ ἀδελφοὶ καὶ Καδμιηλ
ὁ ἀδελφὸς καὶ οἱ υἱοὶ Ἰησοῦ Ημαδαβουν καὶ οἱ υἱοὶ Ιωδα τοῦ
Ιλιαδουν σὺν τοῖς υἱοῖς καὶ ἀδελφοῖς, πάντες οἱ Λευῖται, ὁμοθυ-
μαδὸν ἐργοδιῶκται ποιοῦντες εἰς τὰ ἔργα ἐν τῷ οἴκῳ τοῦ θεοῦ.
57 [57]καὶ ᾠκοδόμησαν οἱ οἰκοδόμοι τὸν ναὸν τοῦ κυρίου, καὶ ἔστησαν
οἱ ἱερεῖς ἐστολισμένοι μετὰ μουσικῶν καὶ σαλπίγγων καὶ οἱ Λευῖ-
ται υἱοὶ Ασαφ ἔχοντες τὰ κύμβαλα ὑμνοῦντες τῷ κυρίῳ καὶ εὐ-
58 λογοῦντες κατὰ Δαυιδ βασιλέα τοῦ Ισραηλ [58]καὶ ἐφώνησαν δι'
ὕμνων ὁμολογοῦντες τῷ κυρίῳ, ὅτι ἡ χρηστότης αὐτοῦ καὶ ἡ δόξα
59 εἰς τοὺς αἰῶνας παντὶ Ισραηλ. [59]καὶ πᾶς ὁ λαὸς ἐσάλπισαν καὶ
ἐβόησαν φωνῇ μεγάλῃ ὑμνοῦντες τῷ κυρίῳ ἐπὶ τῇ ἐγέρσει τοῦ
60 οἴκου τοῦ κυρίου. [60]καὶ ἤλθοσαν ἐκ τῶν ἱερέων τῶν Λευιτῶν καὶ
τῶν προκαθημένων κατὰ τὰς πατριὰς αὐτῶν οἱ πρεσβύτεροι οἱ
ἑωρακότες τὸν πρὸ τούτου οἶκον πρὸς τὴν τούτου οἰκοδομὴν μετὰ
61 κραυγῆς καὶ κλαυθμοῦ μεγάλου [61]καὶ πολλοὶ διὰ σαλπίγγων καὶ
62 χαρᾶς μεγάλῃ τῇ φωνῇ [62]ὥστε τὸν λαὸν μὴ ἀκούειν τῶν σαλπίγ-
γων διὰ τὸν κλαυθμὸν τοῦ λαοῦ, ὁ γὰρ ὄχλος ἦν ὁ σαλπίζων
μεγαλωστὶ ὥστε μακρόθεν ἀκούεσθαι.
63 [63]Καὶ ἀκούσαντες οἱ ἐχθροὶ τῆς φυλῆς Ιουδα καὶ Βενιαμιν ἤλ-
64 θοσαν ἐπιγνῶναι τίς ἡ φωνὴ τῶν σαλπίγγων. [64]καὶ ἐπέγνωσαν
ὅτι οἱ ἐκ τῆς αἰχμαλωσίας οἰκοδομοῦσιν τὸν ναὸν τῷ κυρίῳ θεῷ
65 Ισραηλ, [65]καὶ προσελθόντες τῷ Ζοροβαβελ καὶ Ἰησοῦ καὶ τοῖς
ἡγουμένοις τῶν πατριῶν λέγουσιν αὐτοῖς Συνοικοδομήσομεν ὑμῖν·
66 [66]ὁμοίως γὰρ ὑμῖν ἀκούομεν τοῦ κυρίου ὑμῶν καὶ αὐτῷ ἐπιθύομεν
ἀπὸ ἡμερῶν Ασβασαρεθ βασιλέως Ἀσσυρίων, ὃς μετήγαγεν ἡμᾶς
67 ἐνταῦθα. [67]καὶ εἶπεν αὐτοῖς Ζοροβαβελ καὶ Ἰησοῦς καὶ οἱ ἡγούμενοι

53 κατα] και B† | του ult.] των A† || 55 ναον] οικον A || 56 καδμιηλ pl.] οδαμαδιηλ B†; καδωηλ A: cf. 26 | ιωδα] ιουδα B | θεου] κυριου BL† || 57 υιοι] pr. οι A || 58 ομολογουντες] ευλογ. B: ex 57 | παντι] pr. εν A || 59 του ult. > B || 60 οι 2⁰ > B† | εωρακ.] pr. προ A† | τουτου 1⁰] του B*† || 61 χαρα B† | τη > A || 62 μεγαλωστι] -λως B || 66 επιθυσομεν B† | ασβασαρεθ] ασβακαφαθ B† || 67 ειπαν A†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/940 UNIVERSITÄT LEIPZIG